Res Mn 8960/4

# ΙΣΟΚΡΑΤΟΥΣ

ἘΠΙΣΤΟΛΑΊ ΤΙΝΕΣ.

# Iſocratis epiſtolæ

ALIQVOT, CVM
EARVNDEM ARGVMEN-
tis, nunc denuò in
lucem editæ.

PARISIIS,
Apud Andream Wechelum, ſub Pegaſo, in
vico Bellouaco: Anno Salutis,

1560.

# ΙΣΟΚΡΑΤΟΥΣ

## ΕΠΙΣΤΟΛΑΙ ΤΙΝΕΣ.

### ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

Ἰσοκράτης πέμπων πρὸς Φίλιππον τὸν περὶ τοῦ διαλλάξαι τοὺς Ἕλληνας, καὶ πολεμῆσαι τοῖς βαρβάροις λόγον, ταύτην προσέθηκε τὴν ἐπιστολήν, σύνοψίν τε τοῦ λόγου περιέχουσαν, καὶ εἰς ἀνάγνωσιν αὐτοῦ τὴν ἐκείνου ψυχὴν προπαρασκευάζουσαν.

### ΙΣΟΚΡΑΤΗΣ ΦΙΛΙΠΠΩι ΤΩι τῶν μακεδόνων βασιλεῖ χαίρειν.

Εἰ μὲν νεώτερος ἦν, οὐκ ἂν ἐπιστολὴν ἐπέμπομεν, ἀλλ' αὐτὸς ἄν σοι πλεύσας ἐνταῦθα διελεγόμην. ἐπειδὴ δὲ οὐ κατὰ τοὺς αὐτοὺς χρόνους ὅ, τε τῆς ἡλικίας τῆς ἐμῆς καιρός, καὶ ὁ τῶν πραγμάτων συμβέβηκεν, ἀλλ' ἐγὼ μὲν προαπείρηκα, τὰ δὲ πράγματα νῦν ἀκμὴν εἴληφεν· ὡς οἷόν τ' ἐστὶν ἐκ τῶν παρόντων, οὕτω σοι πειράσομαι δηλῶσαι περὶ αὐτῶν. οἶδα μὲν οὖν, ὅτι τοῖς συμβουλεύειν ἐπιχειροῦσι πολὺ διαφέρει μὴ διὰ γραμμάτων ποιεῖσθαι τὴν συνουσίαν, ἀλλ' αὐτοὺς πλησιάσαντας· οὐ μόνον ὅτι περὶ τῶν αὐτῶν πραγμάτων ῥᾷον ἄν τις παρὼν πρὸς παρόντας φράσειεν, ἢ δι' ἐπιστολῆς δηλώσειεν, † οὐχ ὅτι πάντες τοῖς λεγομένοις μᾶλλον, ἢ τοῖς γεγραμμένοις πιστεύουσι, καὶ τῶν μὲν ὡς εἰσηγημάτων, τῶν δ' ὡς ποιημάτων ποιοῦνται τὴν ἀκρόασιν· ἀλλὰ πρὸς τούτοις ἐν μὲν ταῖς συνουσίαις, ἢν ἀγνοηθῇ τι τῶν λεγομένων, ἢ μὴ πιστευθῇ, παρὼν ὁ τὸν λόγον διεξιὼν, ἀμφοτέροις τούτοις ἐπήμυνεν. ἐν δὲ τοῖς ἐπιστελλομένοις ἄν τι συμβῇ τοιοῦτον, οὐκ ἔστιν ὁ διορθώσων. ἀπόντος γὰρ τοῦ γράψαντος, ἔρημα τοῦ βοηθήσοντός ἐστιν. οὐ μὴν ἀλλ' ἐπειδὴ σὺ μέλλεις αὐτῶν ἔσεσθαι κριτής, πολλὰς ἐλπίδας ἔχω φανήσεσθαι λέγοντας ἡμᾶς τι τῶν δεόντων. ἡγοῦμαι γὰρ ἁπάσας ἀφελόντα τὰς

λῆψις εὐνοίας.

προσεκτικὸν ἐκ τοῦ δυσχεροῦς, κατὰ σύγκρισιν ἐπιστολῆς καὶ ὁμιλίας.

† οὐδ' ὅτι

εὐνοικὸν ἐκ τοῦ Φιλίππου προσώπου.

† προσέχειν.

τὰς προειρημένας δυσχερείας, αὐταῖς ταῖς πράξεσι † προσέχειν τὸν νοῦν. καίτοι τινὲς ἤδη με τῶν σοὶ πλησιαζόντων ἐκφοβεῖν ἐπεχείρησαν, λέγοντες, ὡς δὴ τοὺς μὲν κολακεύοντας τιμᾷς, τῶν δὲ συμβουλευόντων καταφρονεῖς. ἐγὼ δ᾽ εἰ μὲν ἀπεδεξάμην τοὺς λόγους τοὺς ἐκείνων, πολλὴν ἂν ἡσυχίαν εἶχον· νῦν δ᾽ οὐδεὶς ἂν με πείσειεν, ὡς οἷόν τ᾽ ἐστὶ τοσοῦτον καὶ ταῖς πράξεσι καὶ τῇ γνώμῃ διενεγκεῖν, ἐὰν μή τις τῶν μὲν μαθητὴς, τῶν δ᾽ ἀκροατὴς, τῶν δ᾽ εὑρετὴς γένηται, καὶ πανταχόθεν προσάγηται, καὶ συλλέξηται, δι᾽ ὧν οἷόν τ᾽ ἐστὶν ἀσκῆσαι τὴν αὑτοῦ διάνοιαν. ἐπῆρθην μὲν οὖν ἐπιστεῖλαί σοι ταῦτα. λέγειν δὲ μέλλων περὶ πραγμάτων καὶ μεγάλων, καὶ περὶ ὧν οὐδενὶ τῶν ὄντων ἀκοῦσαι μᾶλλον ἢ σοὶ προσήκει, νομίζω δεῖν με προθύμως οὕτω σε παρακαλεῖν, ἵνα γένῃ συγγράμματος ἀκροατής. οὐ γὰρ ὅτ᾽ ἐγὼ τυγχάνω φιλοτίμως διακείμενος, ὅτι σὺ λανθάνεις ἡμᾶς πλήρης ὢν τῶν τοιούτων. πρὸς δὲ τούτοις κἀκεῖνο πᾶσι φανερὸν, ὅτι τοῖς μὲν ἐπιδείξεως δεομένοις αἱ πανηγύρεις ἁρμόττουσιν· ἐκεῖσε γὰρ ἄν τις ἐν πλείστοις τὴν αὑτοῦ δύναμιν διασπείρειε· τοῖς δὲ διαπράξασθαί τι βουλομένοις, πρὸς τοῦτον διαλεκτέον, ὅστις τάχιστα μέλλει τὰς πράξεις ἐπιτελεῖν, τὰς ὑπὸ τοῦ λόγου δηλωθείσας. εἰ μὲν οὖν μιᾷ τινι τῶν πόλεων εἰσηγούμην, πρὸς τοὺς ἐκείνης προεστῶτας τοὺς λόγους ἂν ἐποιούμην. ἐπειδὴ δ᾽ ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας παρεσκεύασμαι συμβουλεύειν, πρὸς τίν᾽ ἂν δικαιότερον διαλεχθείην, ἢ πρὸς τὸν πρωτεύοντα τοῦ γένους, καὶ μεγίστην ἔχοντα δύναμιν; καὶ μὴν οὐδ᾽ ἀκαίρως φανησόμεθα μεμνημένοι περὶ τούτων. ὅτε μὲν γὰρ Λακεδαιμόνιοι τὴν ἀρχὴν εἶχον, οὐ ῥᾴδιον ἦν ἐπιμεληθῆναί σοι τῶν περὶ τὸν τόπον τὸν ἡμέτερον, οὐδὲ τούτοις ἐναντία πράττειν· νῦν δ᾽ οὕτω πράττουσιν, ὥστ᾽ ἀγαπᾶν, ἢν τὴν χώραν τὴν αὑτῶν ἔχωσιν. ἡ δ᾽ ἡμετέρα πόλις ἡδέως ἂν αὐτὴν σοι παράσχοι συναγωνιζομένην, ἤν τι πράττῃς ὑπὲρ τῆς Ἑλλάδος ἀγαθόν. πῶς οὖν ἂν παραπέσοι κάλλιων καιρὸς τοῦ νῦν σοι παρόντος; καὶ μὴ θαυμάζῃς, εἰ μήτε δημηγορῶν, μήτε στρατηγῶν, μήτ᾽ ἄλλως δυνάστης ὤν,

Margin notes:

προκατάληψις ἠθικὴ παρρησία καὶ παραίνεσις ἐν ἐγκωμίου σχήματι.

προσεκτικὰ, ἐκ τοῦ καθήκοντος ἀμφοῖν.

εὐμάθεια.

ἐκ τοῦ καιροῦ.

προκατάληψις ἑαυτοῦ συστατική.

οὕτως ἐμβριθὲς αἱροῦμαι πρᾶγμα, καὶ δυοῖν ὄντοιν χεροῖν τοῖν μεγίστοιν, ὑπέρ τε τῆς Ἑλλάδος λέγειν, καὶ σοὶ συμβουλεύειν. ἐγὼ γὰρ τοῦ μὲν πράττειν τι τῶν κοινῶν, εὐθὺς ἐξέστην· δι᾽ ἃς δὲ προφάσεις, πολὺ ἂν εἴη ἔργον λέγειν· τῆς δὲ παιδεύσεως τῆς τῶν μὲν μικρῶν καταφρονούσης, τῶν δὲ μεγάλων ἐφικνεῖσθαι πειρωμένης, οὐκ ἂν φανείην † ἄπορος γεγενημένος. ὥστ᾽ οὐδὲν ἄτοπον, εἴ τι τῶν συμφερόντων ἰδεῖν ἂν μᾶλλον δυνηθείην τῶν ἐκεῖ μὲν πολιτευομένων, μεγάλην δὲ δόξαν ἐσχηκότων. δηλώσομεν δ᾽ οὐκ εἰς ἀναβολάς, εἴ τινος ἄξιοι τυγχάνομεν ὄντες, ἀλλ᾽ ἐκ τῶν ῥηθήσεσθαι μελλόντων.

† ἄπειρος

### ΥΠΟΘΕΣΙΣ ΤΗΣ Β. ΕΠΙΣΤΟΛΗΣ.

Τριμερὴς ἡ ἐπιστολή ἐστιν. πρῶτον μὲν γὰρ ἀποτρέπει Φίλιππον τῆς ἐν τῷ πολεμεῖν προπετείας, ἥν τινα καὶ ὁ καθ᾽ ἡμᾶς Κικέρων ἐκφαυλίζων φησὶν, ὅτι τὸ εἰκῆ ἐν παρατάξει ἀναστρέφεσθαι ταῖς χερσὶ διαμαχόμενον τοῖς πολεμίοις, ἀπάνθρωπόν ἐστι καὶ θηριῶδες· ὅταν δὲ καιρὸς ᾖ, καὶ ἡ ἀνάγκη ἀπαιτοίη, τῇ χειρὶ διαγωνίζεσθαι χρὴ, καὶ θάνατον αἱρετέον ἀντὶ δουλείας καὶ ἀτιμίας. εἶτα δὲ πείθειν ἐπιχειρεῖ, πολεμῆσαι τῷ Περσῶν βασιλεῖ. καὶ τελευτῶν παραινεῖ ἀντιποιεῖσθαι τῆς Ἀθηναίων φιλίας, καὶ πάντας τοὺς Ἕλληνας εὐεργετεῖν.

### ΙΣΟΚΡΑΤΗΣ ΦΙΛΙΠΠΩι ΧΑΙΡΕΙΝ.

Οἶδα μὲν, ὅτι πάντες εἰώθασι πλείω χάριν ἔχειν τοῖς ἐπαινοῦσιν, ἢ τοῖς συμβουλεύουσιν, ἄλλως τε καὶ ἂν μὴ κελευσθείς τις ἐπιχειρῇ τοῦτο ποιεῖν. ἐγὼ δ᾽ εἰ μὲν μὴ πρότερον ἐτύγχανόν σοι παρῃνεκὼς μετὰ πολλῆς εὐνοίας, ἐξ ὧν † ἐδόκει μοι μάλιστα τὰ πρέποντα σαυτῷ πράξειν, † ἴσως γ᾽ ἂν νῦν ἐπεχείρουν ἀποφαίνεσθαι περὶ τῶν σοὶ συμβεβηκότων. ἐπειδὴ δὲ προειλόμην φροντίζειν τῶν σῶν πραγμάτων, καὶ τῆς πόλεως ἕνεκα τῆς ἐμαυτοῦ, καὶ τῶν ἄλλων Ἑλλήνων, αἰσχυνθείην ἂν, εἰ περὶ μὲν τῶν ἧττον ἀναγκαίων φανοίμην σοι συμβεβουλευκώς, ὑπὲρ δὲ τῶν μᾶλλον κατεπειγόντων μηδένα λόγον ποιοίμην· καὶ ταῦτί πως ἐκεῖνα μὲν ὑπὲρ δόξης ὄντα, ταῦτα δ᾽ ὑπὲρ τῆς σωτηρίας, ἧς ὀλιγωρεῖν ἅπασιν ἔδοξας τοῖς ἀκούσασι, τὰς περὶ σοῦ ῥηθείσας βλασφημίας. οὐδεὶς γάρ ἐστιν, ὅστις οὐ κατέγνω προπετέστερόν σε κινδυνεύειν, ἢ βασιλικώτερον· καὶ μᾶλλόν σοι μέλειν τῶν περὶ τὴν ἀνδρείαν ἐπαίνων, ἢ τῶν ὅλων πραγμάτων. ἔστι δ᾽ ὁμοίως αἰσχρὸν

εὐνοίας λῆψις, κατὰ προκατάληψιν.

† ἐδόκει

† οὐκ ἂν

προσοχὴ κατὰ σύγκρισιν.

διήγησις ἐπιτιμητική.

*ἀποτροπὴ γνωμικὴ κατὰ σύγκρισιν καὶ διλήμματον, καὶ διασολλώ.*

*† τοιούτους*

περιστάντων τε τῶν πολεμίων μὴ διαφέροντα γίνεσθαι τῶν ἄλλων, μηδεμιᾶς τε συμπεσούσης ἀνάγκης, αὑτὸν ἐμβάλλειν εἰς † τοσούτους ἀγῶνας, ἐν οἷς κατορθώσας μὲν οὐδὲν ἦσθα μέγα διαπεπραγμένος· τελευτήσας δὲ τὸν βίον, ἅπασαν τὴν ὑπάρχουσαν εὐδαιμονίαν συνανεῖλες. χρὴ δὲ μὴ καλὰς ἁπάσας ὑπολαμβάνειν τελευτάς· ἀλλὰ

*καλαὶ ἐν πολέμοις τελευταί.*

τὰς μὲν ὑπὲρ τῆς πατρίδος, καὶ τῶν γονέων, καὶ τῶν παίδων, ἐπαίνων ἀξίας· τὰς δὲ ταῦτά τε πάντα βλαπτούσας, καὶ τὰς πράξεις τὰς πρότερον κατωρθωμένας καταρυπαινούσας, αἰσχρὰς νομίζειν, καὶ φεύγειν, ὡς αἰτίους ἀδοξίας γινομένας. ἡγοῦμαι δέ σοι συμφέρειν μιμεῖσθαι τὰς

*ἐκ παραδείγματος τῶν πόλεων.*

πόλεις, ὃν τρόπον διοικοῦσι τὰ περὶ τοὺς πολέμους. ἅπασαι γάρ, ὅταν στρατόπεδον ἐκπέμπωσιν, εἰώθασι τὸ κοινὸν καὶ τὸ συμβουλευόμενον ὑπὲρ τῶν ἐνεστώτων, εἰς ἀσφάλειαν καθιστάναι. διὸ δὴ καὶ συμβαίνει

*† συμπεσούσης.*

μηδεμιᾶς ἀτυχίας † συμπεριπεσούσης, ἀνῃρῆσθαι καὶ τὴν δύναμιν αὐτῶν, ἀλλὰ πολλὰς ὑποφέρειν δύνασθαι συμφοράς, καὶ πάλιν ἑαυτὰς ἐκ τούτων ἀναλαμβάνειν. ὃ καὶ σὲ δεῖ σκοπεῖν, καὶ μηδὲν μεῖζον ἀγαθὸν τῆς σωτηρίας ὑπολαμβάνειν, ἵνα καὶ τὰς νίκας τὰς συμβαι-

*ἐκ παραδείγματος τῶν Λακωνικῶν βασιλέων.*

*† καθιστάντας*

νούσας κατὰ τρόπον διοικῇς. ἴδοις δ' ἂν καὶ Λακεδαιμονίους, περὶ τῆς τῶν βασιλέων σωτηρίας πολλὴν ἐπιμέλειαν ποιουμένους, καὶ τοὺς ἐνδοξοτάτους τῶν πολιτῶν φύλακας αὐτῶν † καταστάντας. οἷς αἴσχιόν ἐστιν ἐκείνους τελευτήσαντας περιιδεῖν, ἢ τὰς ἀσπίδας ἀποβαλεῖν. ἀλ-

*ἐκ παραδείγματος Ξέρξου καὶ Κύρου.*

λὰ μὴν οὐδ' ἐκεῖνά σε λέληθεν, ἃ Ξέρξῃ τε τῷ καταδουλώσασθαι τοὺς Ἕλληνας βουληθέντι, καὶ Κύρῳ τῆς βασιλείας ἀμφισβητήσαντι συνέπεσεν. ὁ μὲν γὰρ τηλικαύταις ἥτταις καὶ συμφοραῖς περιπεσών, ἡλίκας οὐδεὶς ἄλλος οἶδε γινομένας, διὰ τὸ περιποιῆσαι τὴν αὑτοῦ ψυχήν, τήν τε βασιλείαν κατέσχε, καὶ τοῖς παισὶ τοῖς ἑαυτοῦ παρέδωκε, καὶ τὴν Ἀσίαν οὕτω διῴκησεν ὥστε μηδὲν ἧττον αὐτὴν εἶναι φοβεράν, ἢ πρότερον. Κῦρος δὲ νικήσας ἅπασαν τὴν βασιλέως δύναμιν, κρατήσας τῶν πραγμάτων, διὰ τὴν αὑτοῦ προπέτειαν, οὐ μόνον αὑτὸν ἀπεστέρησε τηλικαύτης δυναστείας, ἀλλὰ καὶ τοὺς συνακολουθοῦντας εἰς τὰς ἐσχά-

τας

τὰς συμφορὰς κατέστησαν. ἔχοιμι δ' ἂν παμπληθεῖς εἰπεῖν, οἳ μεγάλων στρατοπέδων ἡγεμόνες γενόμενοι, διὰ τὸ προδιαφθαρῆναι, πολλὰς μυριάδας αὐτοῖς συναπώλεσαν. ὧν ἐνθυμούμενον χρὴ μὴ τιμᾶν τὴν ἀνδρείαν τὴν μετ' ἀνοίας καὶ φιλοτιμίας ἀκαίρου γιγνομένην· μηδὲ πολλῶν κινδύνων ὑπαρχόντων ταῖς μοναρχίαις, ἑτέρους ἀδόξους καὶ στρατιωτικοὺς αὑτῷ προσεξευρίσκειν· μηδ' ἁμιλλᾶσθαι τοῖς ἢ τὸν βίον δυστυχοῦς ἀπαλλαγῆναι βουλομένοις, ἢ μισθοφορᾶς ἕνεκα μείζονος εἰκῇ τοὺς κινδύνους προαιρουμένοις. μηδ' ἐπιθυμεῖν τοιαύτης δόξης, ἧς πολλοὶ καὶ τῶν ἄλλων Ἑλλήνων καὶ τῶν βαρβάρων τυγχάνουσιν· ἀλλὰ τῆς τηλικαύτης τὸ μέγεθος, ἣν μόνος ἂν σὺ τῶν νῦν ὄντων κτήσασθαι δυνηθείης. μηδ' ἀγαπᾶν λίαν τὰς τοιαύτας ἀρετὰς ὧν καὶ τοῖς φαύλοις μέτεστιν· ἀλλ' ἐκείνας ὧν οὐδεὶς ἂν πονηρὸς κοινωνήσειε. μηδὲ ποιεῖσθαι πολέμους ἀδόξους καὶ χαλεπούς, ἐξὸν ἐντίμους καὶ ῥᾳδίους· μηδ' ἐξὸν τοὺς μὲν οἰκειοτάτους εἰς λύπας καὶ φροντίδας καταστήσεις, τοὺς δ' ἐχθροὺς ἐν ἐλπίσι μεγάλαις, οἵας καὶ νῦν αὐτοῖς παρέχεις. ἀλλὰ τῶν μὲν βαρβάρων, πρὸς οὓς νῦν πολεμεῖς, ἐπὶ τοσοῦτον ἐξαρκέσει κρατεῖν, ὅσον ἐν ἀσφαλείᾳ καταστῆσαι τὴν σαυτοῦ χώραν. τὸν δὲ νῦν μέγαν προσαγορευόμενον, καταλύειν ἐπιχειρήσεις, ἵνα τήν τε σαυτοῦ δόξαν μείζω ποιήσῃς, καὶ τοῖς Ἕλλησιν ἐπιδείξῃς, πρὸς οὓς χρὴ πολεμεῖν.

ἐπίλογος καὶ μετάβασις ἐπὶ τὸ δεύτερον κεφάλαιον, τὸ περὶ τοῦ πέρσαις πολεμεῖν.

πρὸ πολλοῦ δ' ἂν ἐποιησάμην ἐπιστεῖλαί σοι ταῦτα πρὸ τῆς στρατείας, ἵν' εἰ μὲν ἐπείσθης, μὴ τηλικούτῳ κινδύνῳ περιπεσεῖν· εἰ δ' ἠπείθησας, μὴ ἐγὼ συμβουλεύειν ἐδόκουν ταῦτα τοῖς ἤδη διὰ τὸ πάθος ὑπὸ πάντων ἐγνωσμένοις, ἀλλὰ τὸ συμβεβηκὸς ἐμαρτύρει τοὺς λόγους ὀρθῶς ἔχειν τοὺς ὑπ' ἐμοῦ περὶ αὐτῶν εἰρημένους.

εὐχὴ προκαταληπτική.

πολλὰ δ' ἔχων εἰπεῖν διὰ τὴν τοῦ πράγματος φύσιν, παύσομαι λέγων. οἶμαι γάρ σε, καὶ τῶν ἑταίρων τοὺς σπουδαιοτάτους, ῥᾳδίως, ὁπόσ' ἂν βούλησθε, τοῖς εἰρημένοις προσθήσειν. πρὸς δὲ τούτοις φοβοῦμαι τὴν ἀκρίβειαν. καὶ γὰρ νῦν κατὰ μικρὸν προϊὼν ἔλαθον ἐμαυτὸν οὐκ εἰς ἐπιστολῆς συμμετρίαν, ἀλλ' εἰς λόγου μῆκος ἐξοκείλας. οὐ μὴν ἀλλὰ καίπερ τούτων οὕτως ἐχόντων,

ἀποδίωξις, καὶ μετάβασις ἐπὶ τὸ τρίτον κεφάλαιον περὶ τῆς τῶν Ἀθηναίων οἰκειότητος.

οὐ παραλειπτέον ἐστὶ τά γε περὶ τῆς πόλεως, ἀλλὰ πειρατέον παρακα-
*προκατάληψις.* λέσαι σε πρὸς τὴν οἰκειότητα, καὶ χρῆσιν αὐτῆς. οἶμαι γὰρ πολλοὺς εἶναι
** ἀπαγγέλλοντας* τοὺς * ἐπαγγέλλοντας, καὶ λέγοντας οὐ μόνον τὰ δυσχερέστατα τῶν περὶ
σοῦ παρ' ἡμῖν εἰρημένων, ἀλλὰ καὶ τῶν αὐτῶν προστιθέντας, οἷς οὐκ
*ἐκ τῶν μαχομένων.* εἰκὸς προσέχειν σε τὸν νοῦν. καὶ γὰρ ἄτοπον ἂν ποιοίης, εἰ τὸν μὲν δῆμον
τὸν ἡμέτερον ψέγοις, ὅτι ῥᾳδίως πείθεται τοῖς διαβάλλουσιν· αὐτὸς δὲ
*βίαιον.* φαίνοιο πιστεύων τοῖς τὴν τέχνην ταύτην ἔχουσι. καὶ μὴν γινώσκεις, ὡς
** ὑπὸ τῶν* ὅσῳπερ ἂν τὴν πόλιν εὐαγωγοτέραν * ὑπὲρ τῶν τυχόντων οὖσαν ἀπο-
φαίνονται, τοσούτῳ μᾶλλόν σοι συμφερόντως ἔχουσαν αὐτὴν ἐπιδει-
*ἐκ τοῦ ἐλάττονος.* κνύουσιν. εἰ γὰρ οἱ μηδὲν ἀγαθὸν οἷοί τε ὄντες ποιῆσαι διαπείθονται
τοῖς λόγοις, οἷς ἂν βουληθῶσιν, ἦπου σέ γε προσήκει τὸν πλεῖστ' ἂν ἔργῳ
** ἀτυχεῖν* δυνάμενον εὐεργετῆσαι, μηδενὸς * τυχεῖν τῶν ἡμῶν; ἡγοῦμαι δὲ δεῖν
*Ἀντιτάττει τοῖς ἀναισχύντοις ἀναισχυντοτέρους ἀρνητικῶς.* πρὸς μὲν τοὺς πικρῶς τῆς πόλεως κατηγοροῦντας ἐκείνους ἀντιτάττειν
τοὺς πάντα γε ταύτης εἶναι λέγοντας, καὶ τοὺς μήτε μεῖζον, μήτ' ἔλατ-
τον αὐτὴν ἠδικηκέναι φάσκοντας. ἐγὼ δὲ οὐδὲν ἂν εἴποιμι τοιοῦτον.
*συνδρομή.* αἰσχυνθείην γὰρ ἄν, εἰ τῶν μὲν ἄλλων μηδὲ τοὺς θεοὺς ἀναμαρτήτους εἶναι
νομιζόντων, αὐτὸς τολμῴην λέγειν, ὡς οὐδὲν πώποτε πεπλημμελήκα-
*ἐκ τοῦ συμφέροντος.* μεν. οὐ μὴν ἀλλ' ἐκεῖνο ἔχω περὶ αὐτῆς εἰπεῖν, ὅτι χρησιμωτέραν οὐκ
ἂν εὕροις ταύτης οὔτε τοῖς Ἕλλησιν, οὔτε τοῖς σοῖς πράγμασιν. ᾧ μάλιστα
προσεκτέον τὸν νοῦν ἐστιν. οὐ μόνον γὰρ ἂν συναγωνιζομένη, γίγνοιτ' ἂν
αἰτία σοι πολλῶν ἀγαθῶν, ἀλλὰ καὶ φιλικῶς ἔχειν μόνον δοκοῦσα. τούς
** νῦν ὄντας* ** κατάσχοις ὡς, εἰ* τε γὰρ ὑπὸ σοῦ * ζῶντας ῥᾷον ἂν * κατάσχοις, ὡς εἰ μηδεμίαν ἔχοιεν
ἀποστροφήν, τῶν τε βαρβάρων, οὓς βουληθείης, θᾶττον ἂν καταστρέ-
*ἐπιφώνημα ἐπιλογικόν.* ψαιο. καί τοι πῶς οὐ χρὴ προθύμως ὀρέγεσθαι τῆς τοιαύτης εὐνοίας, δι'
ἧς οὐ μόνον τὴν ὑπάρχουσαν ἰσχὺν ἀσφαλῶς καθέξεις, ἀλλὰ καὶ πολ-
*ἐκ συγκρίσεως.* λὴν ἑτέραν ἀκινδύνως προσκτήσῃ; θαυμάζω δ' ὅσοι τῶν τὰς δυνά-
μεις ἐχόντων τὰ μὲν τῶν ξενιτευομένων στρατόπεδα μισθοῦνται, καὶ
χρήματα πολλὰ δαπανῶνται, συνειδότες ὅτι πλείους ἠδίκηκε τῶν
πιστευόντων αὐτοῖς, ἢ σέσωκε· τὴν δὲ πόλιν, τὴν τηλικαύτην δύναμιν

κεκτη-

κεκτημένων μὴ πειρῶνται θεραπεύειν, ἣ καὶ μίαν ἑκάστην καὶ ξυμπάσας τὴν ἑλλάδα πολλάκις ἤδη σέσωκεν. ἐνθυμοῦ δ' ὅτι πολλοῖς καλῶς βεβουλεῦσθαι δοκεῖς, ὅτι δικαίως κέχρησαι θετταλοῖς, καὶ συμφερόντως ἐκείνοις, ἀνδράσιν οὐκ εὐμεταχειρίστοις, ἀλλὰ μεγαλοψύχοις, καὶ στάσεως μεστοῖς. χρὴ τοίνυν καὶ περὶ ἡμᾶς πειρᾶσθαι γίγνεσθαι τοιοῦτον, ἐπιστάμενον, ὅτι τὴν μὲν χώραν θετταλοί, τὴν δὲ δύναμιν ἡμεῖς ὅμορον σοι τυγχάνομεν ἔχοντες. ἣν ἐκ παντὸς τρόπου ζήτει προσάγεσθαι. πολὺ γὰρ κάλλιόν ἐστι τὰς εὐνοίας τὰς τῶν πόλεων αἱρεῖν, ἢ τὰ τείχη. τὰ μὲν γὰρ οὐ μόνον ἔχει φθόνον, ἀλλὰ καὶ τῶν τοιούτων τὴν αἰτίαν τοῖς στρατοπέδοις ἀνατιθέασιν· ἢν δὲ τὰς οἰκειότητας καὶ τὰς εὐνοίας κτήσασθαι δυνηθῇς, ἅπαντες τὴν σὴν διάνοιαν ἐπαινέσουσι. δικαίως δ' ἄν μοι πιστεύοις, οἷς εἴρηκα περὶ τῆς πόλεως. φανήσομαι γὰρ οὔτε κολακεύων αὐτὴν ἐν τοῖς λόγοις * εἰθισμένοις, ἀλλὰ πλεῖστα πάντων ἐπιτετιμηκώς, οὔτ' αὖ παρὰ τοῖς πολλοῖς, καὶ τοῖς εἰκῇ * δοκιμάζουσι φερόμενος, ἀλλ' ἀγνοούμενος ὑπ' αὐτῶν, καὶ φθονούμενος, ὥσπερ σύ. πλὴν τοσοῦτον διαφερόμεθα, ὅτι πρὸς σὲ μὲν διὰ τὴν εὐδαιμονίαν, καὶ τὴν δύναμιν οὕτως ἔχουσι· πρὸς ἐμὲ δέ, διότι προσποιοῦμαι τοῦ βέλτιον αὐτῶν φρονεῖν. καὶ πλείους ὁρῶσί μοι διαλέγεσθαι βουλομένους, ἢ σφίσιν αὐτοῖς. ἐβουλόμην δ' ἂν ἡμῖν ὁμογνωμόνως ῥᾴδιον εἶναι, τὴν δόξαν, ἣν ἔχομεν παρ' αὐτοῖς, διαφυγεῖν. νῦν δὲ σὺ μὲν οὐ χαλεπῶς, ἂν βουληθῇς, αὐτὴν διαλύσεις, ἐμοὶ δ' ἀνάγκη καὶ διὰ τὸ γῆρας, καὶ δι' ἄλλα πολλὰ στέργειν τοῖς παροῦσιν. ὡς οὐκ οἶδ' ὅ, τι πλείω δεῖ λέγειν, πλὴν τοσοῦτον, ὅτι δεῖ τὴν βασιλείαν καὶ τὴν εὐδαιμονίαν τὴν ὑπάρχουσαν ὑμῖν παρακατατίθεσθαι τῇ τῶν ἑλλήνων εὐδαιμονίᾳ, καὶ εὐνοίᾳ.

ἐκ παραδείγματος αὐτοῦ τοῦ φιλίππου.

γνώμη συγκριτική.

κατὰ προκατάληψιν ἀξιόπιστον ὄντα ἑαυτὸν ἀποφαίνεται.

* εἰθισμένος

* δοκιμάζουσιν εὖ φερόμενος,

ἀστεία σύγκρισις Ἰσοκράτους πρὸς φίλιππον.

ἐκ τοῦ δυνατοῦ.

ἐκ τοῦ συμφέροντος.

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Γ. ΕΠΙΣΤΟΛΗΣ.

παρακαλεῖ φίλιππον, πάντα τἆλλα ἀφέντα, πολεμῆσαι τῷ περσῶν βασιλεῖ.

## ΙΣΟΚΡΑΤΗΣ ΦΙΛΙΠΠΩ, ΧΑΙΡΕΙΝ.

*κατ' ἀποδίωξιν ἀναλαμβάνει τὴν τοῦ πρὸς Φίλιππον ὑπόθεσιν.*

Ἐγὼ διελέχθην μὲν καὶ πρὸς Ἀντίπατρον, περί τε τῶν τῇ πόλει συμφερόντων, καὶ σοὶ διαρκούντως, ὡς ἐμαυτὸν ἔπειθον. ἐβουλήθην δὲ γράψαι καὶ πρὸς σὲ περὶ ὧν μοι δοκεῖ πρακτέον εἶναι μετὰ τὴν εἰρήνην, παραπλήσια τοῖς ἐν τῷ λόγῳ γεγραμμένοις, πολὺ δ' ἐκείνων συντομώτερα. κατ' ἐκεῖνον μὲν γὰρ τὸν χρόνον συνεβούλευον, ὡς χρὴ διαλλάξαντά σε τήν τε πόλιν τὴν ἡμετέραν, καὶ τὴν Λακεδαιμονίων, καὶ τὴν Θηβαίων, καὶ τὴν Ἀργείων, εἰς ὁμόνοιαν καταστῆσαι τοὺς Ἕλληνας, ἡγούμενος ἐὰν τὰς προεχούσας πόλεις πείσῃς οὕτω φρονεῖν, ταχέως καὶ τὰς ἄλλας ἐπακολουθήσειν. τότε μὲν οὖν ἄλλος ἦν καιρός. νῦν δὲ συμβέβηκε, μηκέτι δεῖν πείθειν· διὰ γὰρ τὸν ἀγῶνα τὸν γεγενημένον, ἠναγκασμένοι πάντες εἰσὶν εὖ φρονεῖν, καὶ τούτων ἐπιθυμεῖν, ὧν ἐπενοοῦμέν σε βούλεσθαι πράττειν τε λέγειν, ὡς δεῖ παυσαμένους τῆς μανίας, καὶ τῆς πλεονεξίας, ἣν ἐποιοῦντο πρὸς ἀλλήλους, εἰς τὴν Ἀσίαν τὸν πόλεμον ἐξενεγκεῖν. πρὸς δὲ τούτοις κἀκεῖνο πολλοὶ παρ' ἐμοῦ πυνθάνονται· πότερον ἐγώ σοι παρῄνεσα ποιήσασθαι τὴν στρατείαν ἐπὶ τοὺς βαρβάρους, ἢ σοῦ διανοηθέντος συνεῖπον. ἐγὼ δὲ οὐκ εἰδέναι μέν φημι τὸ σαφές. οὐ γὰρ συγγεγενῆσθαί σοι πρότερον. οὐ μὴν ἀλλ' οἴεσθαι, σὲ μὲν ἐγνωκέναι περὶ τούτων, ἐμὲ δὲ συνειρηκέναι ταῖς σαῖς ἐπιθυμίαις. ταῦτα δ' ἀκούοντες ἐδέοντό μου παρακελεύεσθαί σοι, καὶ προτρέπειν ἐπὶ τῶν αὐτῶν τούτων μένειν. ὡς οὐδέ ποτ' ἂν γενομένων οὔτε καλλιόνων ἔργων, οὔτ' ὠφελιμωτέρων τοῖς Ἕλλησιν, οὔτ' ἐν καιρῷ μᾶλλον πραχθησομένων. εἰ μὲν οὖν εἶχον τὴν αὐτὴν δύναμιν, ἥν περ πρότερον, καὶ μὴ παντάπασιν ἦν ἀπειρηκώς, οὐκ ἂν δι' ἐπιστολῆς διελεγόμην, ἀλλὰ παρὼν νῦν αὐτὸς παρώξυνον ἄν σε, καὶ παρεκάλουν ἐπὶ τὰς πράξεις ταύτας. νῦν δ' ὡς δύναμαι, παρακελεύομαί σοι μὴ καταμελῆσαι τούτων, πρὶν ἂν τέλος ἐπιθῇς αὐτοῖς. ἔτι δὲ πρὸς μὲν ἄλλο τι τῶν ὄντων ἀπλήστως ἔχειν, οὐ καλόν. αἱ γὰρ μετριότητες παρὰ τοῖς πολλοῖς εὐδοκιμοῦσι. δόξης δὲ μεγάλης καὶ καλῆς ἐπιθυ-

*ἀντιχειρεῖ τὴν φιλοτιμίαν τ' ἀνδρός, ἀπομνημονεύων τὴν ἑλλήνων προθυμίαν.*

*προκατάληψις, διότι οὐ παρὼν διαλέγεται.*

*ἐκ τοῦ εὐλόγου κατὰ σύγκρισιν.*

ἐπιθυμεῖν, καὶ μηδέποτ' ἐμπίπλασθαι πρὸς ἣν τοὺς πολὺ τῶν ἄλλων
διενεγκόντας, ὅπερ σοὶ συμβέβηκεν. ἡγοῦ δὲ τόθ' ἕξειν αὐτὴν ἀνυπέρ-
βλητον, καὶ τῶν σοὶ πεπραγμένων ἀξίαν, ὅταν τοὺς μὲν βαρβάρους ἀναγ-
κάσῃς εἱλωτεύειν τοῖς Ἕλλησι, πλὴν τῶν σοὶ συναγωνιζομένων, τὸν δὲ
βασιλέα τὸν νῦν μέγαν προσαγορευόμενον, ποιήσῃς τοῦτο πράττειν, ὃ
ἂν σὺ προστάττῃς. ταῦτα δὲ κατεργάσασθαι πολὺ ῥᾷόν ἐστιν ἐκ τῶν νῦν ἐκ τοῦ ῥᾳδίου κατὰ σύγκρισιν.
παρόντων, ἢ προελθεῖν ἐπὶ τὴν δύναμιν, καὶ τὴν δόξαν, ἣν ἔχεις περὶ
τῆς βασιλείας τῆς ἐξ ἀρχῆς ὑμῖν ὑπαρξάσης. οὐδὲ γάρ ἐστι λοιπὸν ἔτι,
πλὴν θεὸν γενέσθαι. χάριν δ' ἔχω τῷ γήρᾳ ταύτην μόνην, ὅτι προή- ἐπευχαριστία.
γαγεν εἰς τοῦτό μου τὸν βίον, ὥσθ' ἃ νέος ὢν διενοούμην, καὶ γράφειν
ἐπεχείρουν ἔν τε τῷ πανηγυρικῷ λόγῳ καὶ τῷ πρὸς σὲ πεμφθέντι,
τούτων ἤδη τὰ μὲν νῦν γιγνόμενα διὰ τῶν σῶν ἐφορῶ πράξεων, τὰ δ'
ἐλπίζω γενήσεσθαι.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Δ ΕΠΙΣΤΟΛΗΣ.

Διόδοτον ἀκροατὴν αὐτοῦ καὶ ἑταῖρον γενόμενον σὺν τῷ υἱῷ ἐκείνου συνίστησιν ὑπερφυῶς, καὶ παραινεῖ Φιλίππῳ λεληθότως, συμβούλους εὖ φρονοῦντας παραλαμβάνειν, καὶ πρὸς τὴν τῶν φίλων παρρησίαν ἐν τῷ νουθετεῖν οὐκ ἀηδῶς διακεῖσθαι.

## ΙΣΟΚΡΑΤΗΣ ΦΙΛΙΠΠΩι ΧΑΙΡΕΙΝ.

Ἐγὼ καὶ περὶ τοῦ κινδύνου παρ' ἡμῖν ὄντος εἰς Μακεδονίαν πέμ- εὐνοίας λῆψις ἐκ τῶν προσώπων.
πειν ἐπιστολήν, οὐ μόνον νῦν ὅτε πολεμοῦμεν πρὸς ὑμᾶς, ἀλλὰ καὶ
τῆς εἰρήνης οὔσης, ὅμως γράψαι πρὸς σὲ εἱλόμην περὶ Διοδότου, δί-
καιον εἶναι νομίζων πάντας μὲν περὶ πολλοῦ ποιεῖσθαι τοὺς ἐμαυτῷ
πεπλησιακότας, καὶ γεγενημένους ἀξίους ἡμῶν, οὐχ ἥκιστα δὲ τοῦτον καὶ
διὰ τὴν εὔνοιαν τὴν εἰς ἡμᾶς, καὶ τὴν ἄλλην ἐπιείκειαν. μάλιστα μὲν
οὖν ἐβουλόμην ἂν αὐτὸν συστῆναι δι' ἡμῶν· ἐπειδὴ δὲ δι' ἑτέρων ἐντε- αὔξησις, ὅτι μαρτυρήσει μᾶλλον ἢ συστήσει.
τύχηκέ σοι, λοιπόν ἐστί μοι μαρτυρῆσαι περὶ αὐτοῦ, καὶ βεβαιῶσαι τὴν
γεγενημένην αὐτῷ πρὸς σὲ γνῶσιν. ἐμοὶ γὰρ πολλῶν καὶ παντοδαπῶν κατὰ σύγκρισιν καὶ μερισμόν.
συγγενομένων ἀνδρῶν καὶ δόξας ἐνίων μεγάλας ἐχόντων, τῶν μὲν
ἄλλων ἁπάντων οἱ μὲν περὶ τὸν λόγον, οἱ δὲ περὶ τὸ διανοηθῆναι λόγοι. εὐβουλία.
καὶ πρᾶξαι δεινοὶ γεγόνασιν. οἱ δ' ἐπὶ μὲν τοῦ βίου σώφρονες, καὶ χα- πράξεις. σωφροσύνη.

χάρις. ρίεντες, πρὸς δὲ τὰς ἄλλας χρήσεις καὶ διατριβὰς, ἀφυεῖς παντάπα-
παῤῥησία τοῖς μικροψύχοις ἀηδής. σιν. οὗτος δὲ οὕτως εὐάρμοστον τὴν φύσιν ἔχει, ὥστε ἐν ἅπασι τοῖς εἰρη-
μένοις τελειότατος εἶναι. καὶ ταῦτ' οὐκ ἂν ἐτόλμων λέγειν, εἰ μὴ τὴν ἀ-
κριβεστάτην πεῖραν αὐτός τε εἶχον αὐτοῦ, καὶ σὲ λήψεσθαι προσεδόκων,
τὰ μὲν αὐτὸν χρώμενον αὐτῷ, τὰ δὲ καὶ παρὰ τῶν ἄλλων τῶν ἐμπεί-
ρων αὐτοῦ πυνθανόμενον. ὧν οὐδεὶς, ὅστις οὐκ ἂν ὁμολογήσειεν, εἰ μὴ λίαν
εἴη φθονερὸς, καὶ εἰπεῖν καὶ βουλεύσασθαι οὐδενὸς ἧττον αὐτὸν δύνασθαι,
καὶ δικαιότατον καὶ σωφρονέστατον εἶναι, καὶ χρημάτων ἐγκρατέστατον· ἔτι
δὲ καὶ συμβιοῦν ἁπάντων ἥδιστον, καὶ λιγυρώτατον· πρὸς δὲ τούτοις πλεί-
στην ἔχειν παῤῥησίαν, οὐχ ἣν οὐ προσῆκεν, ἀλλὰ τὴν εἰκότως ἂν μέγιστον
γιγνομένην σημεῖον τῆς εὐνοίας τῆς πρὸς τοὺς φίλους. ἣν τῶν δυναστῶν
οἱ μὲν ἀξιόχρεων τὸν ὄγκον τὸν τῆς ψυχῆς ἔχοντες τιμῶσιν, ὡς χρησί-
μην οὖσαν· οἱ δὲ ἀσθενέστεροι τὰς φύσεις ὄντες, ἢ κατὰ τὰς ὑπαρχούσας
† ὡς ὢν ἐξουσίας, δυσχεραίνουσιν, † ὅσον οὐ προαιροῦνταί τι ποιεῖν βιαζο-
† περὶ μένην αὐτοὺς, οὐκ εἰδότες, ὡς οἱ μάλιστα † ὑπὲρ τοῦ συμφέροντος ἀντι-
λέγειν τολμῶντες, οὗτοι πλείστην ἐξουσίαν αὐτοῖς τοῦ πράττειν ἃ βού-
ἀντίθεσις τῆς κολακείας. λονται παρασκευάζουσιν. εἰκὸς μὲν γὰρ διὰ τοὺς ἀεὶ πρὸς ἡδονὴν λέ-
† ἰσχυρὰς ἢ δυνατὰς γειν προαιρουμένους, οὐχ ὅπως μοναρχίας δύνασθαι ποιεῖν † δυνά-
† καὶ μεις αἳ πολλοὺς † τοὺς ἀναγκαίους ἐφέλκονται κινδύνους, ἀλλ' οὐδὲ
τὰς πολιτείας, αἳ μετὰ πλείονος ἀσφαλείας εἰσί. δεῖ δὲ τοὺς ὑπὲρ τοῦ
βελτίστου παῤῥησιαζομένους, πολλὰ σώζειν δύνασθαι, καὶ τῶν ὑπερ-
δόξων διαφθαρήσεσθαι πραγμάτων. ὧν ἕνεκα προσήκει μὲν παρὰ
† μονάρχαις πᾶσι τοῖς † μονάρχοις πλέον φέρεσθαι τοὺς τὴν ἀλήθειαν ἀποφαινο-
μένους, τῶν ἅπαντα μὲν πρὸς χάριν, μηδὲν δὲ ἄξιον χάριτος λε-
μεμψιμοιρία τῆς ἀτοπίας. γόντων. συνέβη δὲ ἔλαττον ἔχειν αὐτοὺς παρ' ἐνίοις αὐτῶν. ὃ καὶ Διο-
† κατὰ δότῳ παθεῖν συνέπεσε παρά τισι τῶν † τὴν Ἀσίαν δυναστευόντων.
οἷς πολλὰ μὲν χρήσιμος γενόμενος οὐ μόνον περὶ τὸ συμβουλεύειν ἀλλὰ
καὶ περὶ τὸ πράττειν, καὶ κινδυνεύειν, διὰ τὸ παῤῥησιάζεσθαι πρὸς αὐ-
τοὺς περὶ ὧν ἐκείνοις συνέφερε, καὶ τῶν οἴκοι τιμῶν ἀπεστερήθη, καὶ

τῶν ἄλλων

πολλῶν ἄλλων ἐλπίδων. καὶ μεῖζον ἴσχυσαν αἱ τῶν τυχόντων ἀνθρώπων κολακεῖαι τῶν εὐεργεσιῶν τῶν τούτου. δι' ἃ δὴ κἂν πρὸς ὑμᾶς ἀεὶ προσιέναι διανοούμενος, ὀκνηρῶς εἶχεν, οὐχ ὡς ἅπαντας ὁμοίους εἶναι νομίζων τοὺς ὑπὲρ * αὐτῶν ὄντας, ἀλλὰ διὰ τὰς παρ' ἐκείνων γεγενημένας δυσχερείας, καὶ πρὸς τὰς παρ' ὑμῶν ἐλπίδας οὐ προθυμότερος ἦν. παραπλήσιον ἔμοιγε δοκεῖ πεπονθὼς τῶν πεπλευκότων τισὶν, οἳ πρότερον, ὅταν χρήσωνται χειμῶσιν, οὐκέτι θαρροῦντες εἰσβαίνουσιν εἰς τὴν θάλασσαν· καίπερ εἰδότες, ὅτι τοῦ καλοῦ πλοῦ πολλάκις ἐπιτυχεῖν ἔστιν. οὐ μὴν ἀλλ' ἐπειδὴ συνέστηκέ σοι, καλῶς * ποιεῖν. λογίζομαι γὰρ αὐτῷ συνοίσειν, μάλιστα μὲν τῇ φιλανθρωπίᾳ τῇ σῇ λογιζόμενος, ἣν ἔχειν ὑπείληφα παρὰ τοῖς ἔξωθεν ἀνθρώποις. ἔπειτα νομίζων οὐκ ἀγνοεῖν ὑμᾶς, ὅτι πάντων ἐστὶν ἥδιστον, καὶ λυσιτελέστατον πιστοὺς ἅμα καὶ χρησίμους φίλους κτᾶσθαι ταῖς εὐεργεσίαις, καὶ τοὺς τοιούτους εὖ ποιεῖν, ὑπὲρ ὧν πολλοὶ καὶ τῶν ἄλλων χάριν ὑμῖν ἕξουσιν. ἅπαντες γὰρ οἱ χαρίεντες τοὺς τοῖς σπουδαίοις τῶν ἀνθρώπων καλῶς ὁμιλοῦντας ὁμοίως ἐπαινοῦσι, καὶ τιμῶσιν, ὥσπερ αὐτοὶ τῶν ὠφελειῶν ἀπολαύοντες. ἀλλὰ γὰρ Διόδοτον αὐτὸν οἶμαί σε μάλιστα προτρέψασθαι πρὸς τὸ φροντίζειν ἑαυτοῦ. συνέπειθον δὲ καὶ τὸν υἱὸν αὐτοῦ τῶν ὑμετέρων ἀντέχεσθαι πραγμάτων, καὶ παραδόντα ὑμῖν ἑαυτὸν, ὥσπερ μαθητὴν, εἰς τοὔμπροσθεν πειραθῆναι προελθεῖν. ὁ δὲ ταῦτά μου λέγοντος, ἐπιθυμεῖν μὲν ἔφασκε τῆς ὑμετέρας φιλίας. οὐ μὴν ἀλλὰ παραπλήσιόν τι πεπονθέναι πρὸς αὐτὴν, καὶ πρὸς τοὺς στεφανίτας ἀγῶνας. ἐκείνους γὰρ νικᾶν μὲν ἂν βούλεσθαι, καταβῆναι δ' εἰς αὐτοὺς οὐκ ἂν τολμῆσαι, διὰ τὸ μὴ πεφυκέναι ῥώμης ἀξίας τῶν στεφάνων, τῶν τε παρ' ὑμῶν τιμῶν εὔξασθαι μὲν ἂν τυχεῖν, οὐδ' ἐφίξεσθαι δ' αὐτὸν προσδοκᾶν. τήν τε γὰρ ἀπειρίαν τὴν αὑτοῦ καταπεπλῆχθαι, καὶ τὴν λαμπρότητα τὴν ὑμετέραν, ἔτι δὲ καὶ τὸ σωμάτιον οὐκ εὔκαιρον ὄν, ἀλλ' ἔχον πρόφασιν, ἣν νομίζειν

Διοδότου ὄκνος.

* αὐτὸν

ὁμοίωσις.

ἀξίωσις ἐγκωμιαστική.

* ποιῶν

ἐκ τοῦ χρησίμου καὶ ἐνδόξου.

μετάβασις ἐπὶ σύστασιν τοῦ υἱοῦ.

προκαταληπτικὴ πλάσις δι' ὁμοιώσεως

ἀξίωσις. ἐμποδίζειν αὐτὸν πρὸς τὰ πολλὰ τῶν πραγμάτων. οὗτος μὲν οὖν, ὅ,τι δοκῇ αὐτῷ συμφέρειν, τοῦτο πράξει. σὺ δέ, ἐάν τε ἥκῃ πρὸς *ἡμᾶς, ἐάν τε ἡσυχίαν ἔχων διατρίβῃ περὶ τούτους τοὺς τόπους, ἐπιμελοῦ καὶ τῶν ἄλλων μὲν ἁπάντων, ὧν τυγχάνει δεόμενος, μάλιστα δὲ τῆς ἀσφαλείας, καὶ τῆς τούτου καὶ τῆς τοῦ πατρὸς αὐτοῦ· νομίσας, ὥσπερ παρακαταθήκην ἔχειν τοῦτον, πρός τε τοῦ γήρως ἡμῶν, ὃ προσηκόντως ἂν πολλῆς τυγχάνῃ προνοίας, καὶ τῆς δόξης τῆς *ὑπερεχούσης, εἴ τινος ἄρα σπουδῆς ἐστὶν ἀξία, καὶ εὐνοίας τῆς *ἐπὶ ὑμᾶς, ἣν ἔχων ἅπαντα τὸν χρόνον διατετέλεκα. καὶ μὴ θαυμάσῃς, μήτ' εἰ μακροτέραν γέγραφα τὴν ἐπιστολήν, μήτ' εἴ τι περιεργότερον, ἢ πρεσβυτικώτερον εἰρήκαμεν ἐν αὐτῇ. πάντων γὰρ τῶν ἄλλων ἀμελήσας, ἑνὸς μόνου ἐφρόντισα τοῦ φανῆναι σπουδάζων ὑπὲρ ἀνδρῶν φίλων, καὶ προσφιλεστάτων μοι γεγενημένων.

*ὑμᾶς

ἐκ τοῦ ἰδίου προσώπου.

*ὑπαρχούσης

*εἰς ἢ πρός

παραίτησις ἐμφατικὴ τῆς σπουδῆς αὐτοῦ.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ε ΕΠΙΣΤΟΛΗΣ.

Συγχαίρει Ἀλεξάνδρῳ τῆς φιλοσοφίας, καὶ ἐν ἐγκωμίου σχήματι παρακαλεῖ αὐτὸν χρῆσθαι τοῖς βελτίστοις τε καὶ παιδείᾳ διαφέρουσι, τῆς τῶν λόγων δεινότητος καὶ πολιτικῆς ἐπιστήμης μᾶλλον ἀντιποιουμένους ἢ τῶν ἐριστικῶν λόγων.

## ΙΣΟΚΡΑΤΗΣ ΑΛΕΞΑΝΔΡΩι ΧΑΙΡΕΙΝ.

προσεκτικόν. Πρὸς τὸν πατέρα σου γράφων ἐπιστολήν, ἄτοπον ᾤμην ποιήσειν, εἰ περὶ τὸν αὐτὸν ὄντα σε τόπον ἐκείνῳ μήτε προσερῶ, μήτε ἀσπάσομαι, μήτε γράψω τι τοιοῦτον, ὃ ποιήσει τοὺς ἀγνοοῦντας, μὴ νομίζειν ἤδη με *μεταφρονεῖν διὰ τὸ γῆρας, μηδὲ παντάπασι ληρεῖν, ἀλλ' ἔτι τὸ καταλελειμμένον μοι μέρος, καὶ λοιπὸν ὄν, οὐκ ἀνάξιον εἶναι τῆς δυνάμεως, ἣν ἔχον νεώτερος ὤν. ἀκούω δέ γε πάντων λεγόντων, ὡς φιλάνθρωπος εἶ, καὶ φιλαθήναιος, καὶ φιλόσοφος, οὐκ ἀφρόνως ποιῶν, ἀλλὰ νουνεχόντως. τῶν τε γὰρ πολιτῶν ἀποδέχεσθαί σε τῶν ἡμετέρων, οὐ τοὺς ἠμεληκότας αὐτῶν, καὶ πονηρῶν πραγμάτων ἐπιθυμοῦντας, ἀλλ' οἷς συνδιατρίβων, οὐκ ἂν λυπηθείης, συμβάλλων τε καὶ κοινωνῶν πραγμάτων οὐδὲν ἂν βλαβείης, οὐδ' ἀδικηθείης, *ὥσπερ χρὴ πλησιάζειν τοὺς εὖ φρονοῦντας. τῶν τε φιλοσοφιῶν οὐκ ἀποδο-

*παραφρονεῖν.

εὐνοίας λῆψις, καὶ ἐν ἐγκωμίου σχήματι συμβουλή.

*οἵουσπερ

κιμάζειν

ἀτιμάζειν μὲν οὐδὲ τὴν περὶ τὰς ἔριδας, ἀλλὰ νομίζειν εἶναι πλεονεκτικὴν ἐν ταῖς ἰδίαις διατριβαῖς, οὐ μὴν ἁρμόττειν οὔτε τοῖς τοῦ πλήθους προεστῶσιν, οὔτε τοῖς τὰς μοναρχίας ἔχουσιν. οὐ γὰρ συμφέρειν, οὐδὲ πρέπειν τοῖς μεῖζον τῶν ἄλλων φρονοῦσι, οὔτ᾽ αὐτοῖς ἐρίζειν πρὸς τοὺς συμπολιτευομένους, οὔτε τοῖς ἄλλοις ἐπιτρέπειν πρὸς αὐτοὺς ἀντιλέγειν. ἀποτροπὴ τῶν ἐριστικῶν λόγων.

ταύτην μὲν οὖν οὐκ ἀγαπᾶν σε τὴν διατριβήν, προαιρεῖσθαι δὲ τὴν παιδείαν τὴν περὶ τοὺς λόγους, οἷς χρώμεθα περὶ τὰς πράξεις προσπιπτούσας καθ᾽ ἑκάστην τὴν ἡμέραν, καὶ μεθ᾽ ὧν βουλευόμεθα περὶ τῶν κοινῶν. δι᾽ ἣν νῦν τε δοκεῖς περὶ τῶν μελλόντων ἐπιεικῶς τοῖς ἀρχομένοις προστάττειν, καὶ οὐκ ἀνοήτως, ἃ δεῖ ποιεῖν ἑκάστους περί τε τῶν καλῶν καὶ δικαίων, καὶ τῶν τούτοις ἐναντίων ὀρθῶς κρίνειν. πρὸς δὲ τούτοις κολάζειν, † ὡς προσῆκόν ἐστιν, ἑκατέρους. σωφρονεῖς οὖν ταῦτα μελετῶν. ἐλπίδας γὰρ τῷ τε πατρὶ καὶ τοῖς ἄλλοις παρέχεις, ὡς ἂν πρεσβύτερος γενόμενος ἐμμένης τούτοις, τοσοῦτον προέξεις τῇ φρονήσει τῶν ἄλλων, ὅσονπερ ὁ πατήρ σου διενήνοχεν ἁπάντων. προτροπὴ ἐπὶ τοὺς πολιτικοὺς λόγους. † καὶ τιμᾶν ἐκ τῶν ἐκβησομένων.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ς ΕΠΙΣΤΟΛΗΣ.

κατ᾽ ἀρχὰς αἰτιολογεῖ, διότι οὐ προσήκει αὐτὸν εἰς Θετταλίαν ἀποδημεῖν. εἶτα μακρᾷ χρησάμενος ἐφόδῳ, παραινεῖ ὅτι δεῖ τὴν τῶν συμπολιτευομένων εὔνοιαν προτιμῆσαι τυραννίδος.

## ΙΣΟΚΡΑΤΗΣ ΤΟΙΣ ΙΑΣΟΝΟΣ παισὶ χαίρειν.

Ἀπήγγειλέ τίς μοι τῶν πρεσβευόντων ὡς ὑμᾶς, ὅτι καλέσαντες αὐτὸν ἄνευ τῶν ἄλλων, ἠρωτήσατε, εἰ παρελθεῖν ἀποδημῆσαί τε, καὶ διατρῖψαι παρ᾽ ὑμῖν. ἐγὼ δὲ ἕνεκα μὲν τῆς Ἰάσονος καὶ πολυάκους ξενίας, ἡδέως ἂν ἀφικοίμην ὡς ὑμᾶς. οἶδα γὰρ ἂν τὴν ὁμιλίαν τὴν γενομένην, ἅπασιν ἡμῖν συνενεγκεῖν. ἀλλὰ γὰρ ἐμποδίζει με πολλά, μάλιστα μὲν τὸ μὴ δύνασθαι πλανᾶσθαι, καὶ τὸ μὴ πρέπειν ἐπιξενοῦσθαι τοῖς τηλικούτοις. ἔπειτα δ᾽ † ὅτε πάντες οἱ πυθόμενοι τὴν ἀποδημίαν, δικαίως ἂν μου καταφρονήσειαν, εἰ προῃρημένος τὸν ἄλλον χρόνον ἡσυχίαν ἄγειν, ἐπὶ γήρως ἀποδημεῖν ἐπιχειροίην, ὅτ᾽ εἰκός, εἰ καὶ

εὐνοίας λῆψις, ἐκ τῆς βουλήσεως αὐτοῦ. παραίτησις, ἐκ τοῦ χαλεποῦ καὶ αἰσχροῦ καὶ ἐπικινδύνου καὶ ἀδυνάτου. † ὅτι

πρότερον ἄλλοσέ ποι διέτριβον, νῦν οἴκαδε σπεύδειν, οὕτως ἐγγύς μοι τῆς τελευτῆς οὔσης. πρὸς δὲ τούτοις φοβοῦμαι καὶ τὴν πόλιν· χρὴ γὰρ τἀληθῆ λέγειν· ὁρῶ γὰρ τὰς συμμαχίας τὰς πρὸς αὐτὴν γινομένας, ταχέως * διαλυομένας. εἰ δή τι συμβαίη καὶ πρὸς ὑμᾶς τοιοῦτο, πῶς ἂν καὶ τὰς αἰτίας καὶ τοὺς κινδύνους διαφυγεῖν δυνηθείην; ὃ χαλεπόν ἐστιν· ἀλλ' οὐκ αἰσχυνθείην ἄν, εἴ τι διὰ τὴν πόλιν δόξαιμι τισὶν ἀμελεῖν ὑμῶν, εἴτε δι' ὑμᾶς τῆς πόλεως ὀλιγωρεῖν, μὴ κοινοῦ δὲ τοῦ συμφέροντος ὄντος, οὐκ οἶδ' ὅπως ἀμφοτέροις ἀρέσκειν δυνηθείην. αἱ μὲν οὖν αἰτίαι, δι' ἃς οὐκ ἔξεστί μοι ποιεῖν ἃ βούλομαι, τοσαῦται συμβεβήκασιν. οὐ μὴν περί γε τῶν ἐμαυτοῦ μόνον ἐπιστείλας, οἴομαι δεῖν ἀμελῆσαι τῶν ὑμετέρων· ἀλλ' ἅπερ ἂν παραγενόμενος πρὸς ὑμᾶς διελέχθην, πειράσομαι καὶ νῦν * ἐπὶ τῶν αὐτῶν τούτων ὅπως ἂν δύνωμαι διεξελθεῖν. μηδὲν δ' ὑπολάβητε τοιοῦτον, ὡς ἄρ' ἐγὼ ταύτην ἔγραψα τὴν ἐπιστολήν, οὐχ ἕνεκα τῆς ὑμετέρας ξενίας, ἀλλ' ἐπίδειξιν ποιήσασθαι βουλόμενος. οὐ γὰρ εἰς τοῦθ' ἥκω μανίας, ὥστ' ἀγνοεῖν, ὅτι κρείττω μὲν γράψαι τῶν πρότερον * διαδεδειγμένων, οὐδ' ἂν δυναίμην τοσοῦτον τῆς ἀκμῆς ὑστερῶν. χείρω δ' ἐξενεγκών, πολὺ φαυλοτέραν ἂν λάβοιμι δόξαν τῆς νῦν ἡμῖν ὑπαρχούσης. ἔπειτ' εἴπερ ἐπιδείξει προσεῖχον τὸν νοῦν, ἀλλὰ μὴ πρὸς ὑμᾶς ἐσπούδαζον, οὐκ ἂν ταύτην ἐξ ἁπασῶν προειλόμην τὴν ὑπόθεσιν, περὶ ἧς οὐ χαλεπόν ἐστιν ἐπιεικῶς εἰπεῖν, ἀλλὰ πολὺ καλλίους ἑτέρας ἂν εὗρον, καὶ μᾶλλον λόγον ἐχούσας. ἀλλὰ γοῦν ὅτι πρότερον οὐδεπώποτε ἐφιλοτιμήθην ἐπὶ τούτοις, ἀλλ' ἐφ' ἑτέροις μᾶλλον, ἃ τοὺς πολλοὺς διαλέληθεν, οὔτε νῦν ταύτην ἔχων τὴν διάνοιαν ἐπραγματευσάμην, ἀλλ' ὑμᾶς μὲν ὁρῶν ἐν πολλοῖς καὶ μεγάλοις πράγμασιν ὄντας, αὐτὸς δὲ ἀποφήνασθαι βουλόμενος, ἣν ἔχω γνώμην περὶ αὐτῶν, ἡγοῦμαι συμβουλεύειν τὴν ἀκμὴν ἔχειν. αἱ γὰρ ἐμπειρίαι παιδεύουσι τοὺς τηλικούτους, καὶ δοκοῦσι μᾶλλον τῶν ἄλλων δύνασθαι καθορᾶν τὸ βέλτιστον. εἰπεῖν δὲ περὶ τῶν προτεθέντων ἐπιχαρίτως, καὶ μουσικῶς, καὶ διαπεπονημένως, οὐκ

[Margin notes: * διαλυομένας. — μετάβασις ἐπὶ τὴν συμβουλήν. — * περὶ — παραίτησις καλλιεπείας προσεκτική. — * διαδεδομένων — εὔβουλον τὸ γῆρας.]

ἔτι

ἐπὶ τῆς ἡμετέρας ἡλικίας ἔργον ἐστίν· ἀλλ' ἀγαπῴην ἄν, εἰ μὴ παντάπασιν ἐκλελυμένως διαλεχθείην περὶ αὐτῶν. μὴ θαυμάζητε, δὲ ἄν τι φαίνωμαι λέγων, ὧν πρότερον ἀκηκόατε. τῶν μὲν γὰρ ἴσως ἄκων ἂν τύχοιμι· τὰ δὲ καὶ προειδὼς ὅτι πρέπον ἐστὶ λέγειν, προσλάβοιμι. καὶ γὰρ ἂν ἄτοπος εἴην, εἰ τοὺς ἄλλους ὁρῶν τοῖς ἐμοῖς χρωμένους, αὐτὸς μόνος ἀπεχοίμην τῶν γ' ὑπ' ἐμοῦ πρότερον εἰρημένων. τούτων δ' ἕνεκα ταῦτα προεῖπον, ὅτι τὸ πρῶτον ἐπιφαινόμενον ἐν τῶν θρυλλουμένων ἐστίν. εἴθισμαι γὰρ λέγειν πρὸς τοὺς περὶ τὴν φιλοσοφίαν τὴν ὑμετέραν διατρίβοντες, ὅτι τοῦτο πρῶτον δεῖ σκέψασθαι, τί τῷ λόγῳ καὶ τοῖς μέρεσι τοῦ λόγου διαπρακτέον ἐστίν. ἐπειδὰν δὲ τοῦθ' εὕρωμεν, καὶ διακριβωσώμεθα, ζητητέον εἶναί φημι τὰς ἰδέας, δι' ὧν ταῦτα ἐξεργασθήσεται, καὶ λήψεται τέλος, ὅπερ ὑπεθέμεθα. καὶ ταῦτα φράζομεν περὶ τῶν λόγων. ἔστι δὲ τοῦτο τὸ στοιχεῖον καὶ κατὰ τῶν ἄλλων ἁπάντων ὑμετέρων πραγμάτων. οὐδὲν γὰρ οἷόν τέ ἐστι πραχθῆναι νουνεχόντως, ἐὰν μὴ τοῦτο πρῶτον μετὰ πολλῆς προνοίας λογίζησθε, καὶ βουλεύσησθε, πῶς χρὴ τὸν ἐπίλοιπον χρόνον ὑμῶν αὐτῶν προστῆναι, καὶ τίνα βίον προελέσθαι, καὶ ποίας δόξης ὀρεχθῆναι, καὶ ποτέρας τῶν τιμῶν ἀγαπῆσαι, πότερον τὰς παρ' ἑκόντων γινομένας, ἢ τὰς παρ' ἀκόντων τῶν πολιτῶν. ταῦτα δὲ διορισαμένους, τότ' ἤδη τὰς πράξεις τὰς καθ' ἑκάστην τὴν ἡμέραν σκεπτέον, ὅπως συντείνωσι πρὸς τὰς ὑποθέσεις τὰς ἐξ ἀρχῆς γινομένας. καὶ τοῦτον μὲν τὸν τρόπον ζητοῦντες, καὶ φιλοσοφοῦντες, ὥσπερ σκοποῦ κειμένου στοχάσεσθε † τῆς ψυχῆς, καὶ μᾶλλον ἐπιτεύξεσθε τοῦ συμφέροντος. ἐὰν δὲ μηδεμίαν κρίνησθε τοιαύτην ὑπόθεσιν, ἀλλ' ὅ, τι προστύχῃ ἐπιχειρῆτε πράττειν, ἀναγκαῖόν ἐστιν ὑμᾶς ταῖς διανοίαις πλανᾶσθαι, καὶ πολλῶν διαμαρτάνειν πραγμάτων. ἴσως οὖν ἄν τις τῶν εἰκῇ ζῆν ᾑρημένων, τοὺς μὲν τοιούτους λογισμοὺς διασύρειν ἐπιχειρήσειεν· ἀξιοίη δ' ἂν σαφῶς διορισάμενον, οὕτω με συμβουλεύειν περὶ τῶν προειρημένων. ἔστιν οὖν οὐκ ὀκνητέον ἀποφήνασθαι περὶ αὐτῶν, ἃ τυγχάνω γινώσκων. ἐμοὶ γὰρ ἀσφαλέστερος

παραίτησις τῆς παλιλλογίας.

προκατασκευὴ καθ' ὁμοίωσιν, ὅτι δεῖ τέλους τινὸς στοχάζεσθαι.

διαπορητικὸν πρόβλημα, πότερον τυραννευτέον ἢ πολιτευτέον.

† τῇ ψυχῇ

τῆς ἀβουλίας ταραχή.

γνώμης ἀπόφανσις κατὰ προκατάληψιν.

> † τυραννευόντων.

βίος εἶναι δοκεῖ, καὶ βελτίων ὁ τῶν ἰδιωτευόντων, ἢ τῶν † τυραννούντων· καὶ τὰς τιμὰς ἡδίους εἶναι νομίζω τὰς παρὰ τῶν μέγα φρονούντων, ἢ τὰς παρὰ τῶν δουλευόντων. καὶ περὶ τούτων λέγειν ἐπιχειρῶ. καί τοι με οὐ λέληθεν, ὅτι πολλοὺς ἕξω τοὺς ἐναντιουμένους, καὶ μάλιστα τῶν περὶ ὑμᾶς ὄντας. οἶμαι γὰρ οὐχ ἥκιστα τούτους ἐπὶ τὴν τυραννίδα παροξύνειν ὑμᾶς· σκοποῦσι γὰρ οὐ πανταχῇ τὴν φύσιν τοῦ πράγματος, ἀλλὰ παραλογίζονται σφᾶς αὐτούς. τὰς μὲν γὰρ ἐξουσίας καὶ τὰ κέρδη καὶ τὰς ἡδονὰς ὁρῶσι, καὶ τούτων ἀπολαύσεσθαι προσδοκῶσι· τὰς δὲ ταραχάς, καὶ τοὺς φόβους, καὶ τὰς συμφορὰς τὰς τοῖς ἄρχουσι συμπιπτούσας, καὶ τοῖς φίλοις αὐτῶν, οὐ θεωροῦσιν· ἀλλὰ πεπόνθασιν, ὅπερ οἱ τοῖς αἰσχίστοις καὶ παρανομωτάτοις τῶν ἔργων ἐπιχειροῦντες. καὶ γὰρ ἐκεῖνοι τὰς μὲν πονηρίας τὰς τῶν πραγμάτων οὐκ ἀγνοοῦσιν, ἐλπίζουσι δὲ ὅσον ἀγαθόν ἐστιν ἐν αὐτοῖς, τοῦτο μὲν ἐκλήψεσθαι, τὰ δὲ ἄλλα πάντα τὰ προσόντα τῷ πράγματι καὶ τὰ κακὰ διαφεύξεσθαι, καὶ διοικήσειν τὰ περὶ σφᾶς, κινδύνων ὄντας πόρρω, τῶν δ' ὠφελειῶν ἐγγύς. τοὺς μὲν οὖν ταύτην ἔχοντας τὴν διάνοιαν, ζηλῶ τῆς ῥαθυμίας· αὐτὸς δὲ αἰσχυνθείην ἄν, εἰ συμβουλεύων ἑτέροις, ἐκείνων ἀμελήσας τὸ ἐμαυτῷ συμφέρον * ποιοίην, καὶ παντάπασιν ἔξω θεὶς ἐμαυτὸν καὶ τῶν ὠφελειῶν, καὶ τῶν ἄλλων ἁπάντων, τὰ βέλτιστα παραινοίην. ὡς οὖν ἐμοῦ ταύτην ἔχοντος τὴν γνώμην, οὕτως ἐμοὶ προσέχετε τὸν νοῦν.

> ἀνασκευή, κατ' ἀντεξέτασιν τῶν ἀγαθῶν, καὶ τῶν κακῶν τῆς τυραννίδος.
>
> ὁμοίωσις.
>
> ἀπόδειξις συστατικὴ τῆς ἑαυτοῦ καλοκαγαθίας.
>
> * σκοποίην καὶ μὴ

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ζ ΕΠΙΣΤΟΛΗΣ.

Τύραννόν τινα τῆς ἐπιεικείας ἀποδέχεται, καὶ ἐγκωμίου σχήματι φιλανθρωπίαν εἰς τοὺς ὑπηκόους καὶ εἰς τοὔπιον ἐν τοῖς μάλιστα ἐπιτηδεύειν παρακαλεῖ. ἔπειτα ἀξιοῖ αὐτὸν αὐτοκράτορί τινι ἐπαρκέσαι.

ΙΣΟΚΡΑΤΗΣ ΤΙΜΟΘΕΩι ΧΑΙΡΕΙΝ.

Περὶ μὲν τῆς οἰκειότητος τῆς ὑπαρχούσης ἡμῖν πρὸς ἀλλήλους, οἶμαί σε πολλῶν ἀκηκοέναι. συγχαίρω δέ σοι πυνθανόμενος, ὅτι πρῶτον μὲν τῇ δυναστείᾳ τῇ παρούσῃ κάλλιον χρῇ τοῦ πατρός, καὶ

> εὐνοίας λῆψις κατ' ἀπόδειξιν, καὶ ἔπαινοι προτρεπτικοὶ κατ' ἀντίθεσιν τοῦ πατρός.

φρονιμώτερον· ἐπειδὴ ὅτι προαιρῇ δόξαν καλὴν κτήσασθαι μᾶλλον, ἢ πλοῦτον μέγαν συναγαγεῖν. σημεῖον γὰρ οὐ μικρὸν ἐκφέρεις ἀρετῆς, ἀλλ' ὡς δυνατὸν, μέγιστον, ταύτην ἔχων τὴν γνώμην. ὥστ' ἢν ἐμμένῃς τοῖς περὶ σοῦ νῦν λεγομένοις, οὐκ ἀπορήσεις τῶν ἐγκωμιασομένων τήν τε φρόνησιν τὴν σὴν, καὶ τὴν προαίρεσιν ταύτην. ἡγοῦμαι δὲ καὶ τὰ διηγούμενα περὶ τοῦ σοῦ πατρὸς, συμβάλλεσθαι μεγίστην πίστιν πρὸς τὸ δοκεῖν εὖ φρονεῖν σε, καὶ διαφέρειν τῶν ἄλλων. εἰώθασι γὰρ οἱ πλεῖστοι τῶν ἀνθρώπων οὐχ οὕτως ἐπαινεῖν καὶ τιμᾶν τοὺς ἐκ τῶν πατέρων, τῶν εὐδοκιμούντων γεγονότας, ὡς τοὺς ἐκ τῶν δυσκόλων καὶ χαλεπῶν, ἤνπερ φαίνωνται μηδὲν * ὅμοιον τοῖς γονεῦσιν ὄντες. μᾶλλον γὰρ ἐπὶ πάντων κεχαρισμένον αὐτοῖς ἐστι τὸ * ἐπὶ λόγον συμβὰν ἀγαθὸν τῶν εἰκότως καὶ προσηκόντως γιγνομένων. ὧν ἐνθυμούμενον, χρὴ ζητεῖν καὶ φιλοσοφεῖν, ἐξ οὗ τρόπου, ἢ μετὰ τίνων, ἢ τίσι συμβούλοις χρώμενος, τάς τε τῆς πόλεως ἀτυχίας ἐπανορθώσεις, καὶ τοὺς πολίτας ἐπί τε τὰς εὐεργεσίας καὶ τὴν σωφροσύνην προτρέψεις, καὶ ποιήσεις αὐτοὺς ἥδιον ζῆν, καὶ θαρραλεώτερον, ἢ τὸν παρελθόντα χρόνον. ταῦτα γάρ ἐστιν ἔργα τῶν ὀρθῶς καὶ φρονίμως δυναστευόντων. ὧν ἔνιοι καταφρονήσαντες, οὐδὲν ἄλλο σκοποῦσι, πλὴν ὅπως αὐτοί τε ὡς μετὰ πλείστης ἀσελγείας διάξουσι, τῶν τε πολιτῶν τοὺς βελτίστους καὶ φρονιμωτάτους ἀμυνοῦνται, καὶ διασμολογήσουσι· κακῶς εἰδότες, ὅτι προσήκει τοὺς εὖ φρονοῦντας, καὶ τοὺς τὴν τιμὴν ταύτην ἔχοντας, μὴ τοῖς τῶν ἄλλων κακοῖς ἑαυτοῖς ἡδονὰς παρασκευάζειν, ἀλλὰ ταῖς αὑτῶν ἐπιμελείαις τοὺς πολίτας εὐδαιμονεστέρους ποιεῖν· μηδὲ πικρῶς μὲν καὶ χαλεπῶς διακεῖσθαι πρὸς ἅπαντας, ἀμελεῖν δὲ τῆς αὑτῶν σωτηρίας· ἀλλ' οὕτω πρᾴως καὶ νομίμως ἐπιστατεῖν τῶν πραγμάτων, ὥστε οὐδένα αὐτοῖς τολμᾶν ἐπιβουλεύειν. μετὰ τοιαύτης δ' ἀκριβείας τὴν τοῦ σώματος ποιεῖσθαι φυλακὴν, ὡς ἁπάντων αὐτοὺς ἀνελεῖν βουλομένων. ταύτην γὰρ τὴν διάνοιαν ἔχοντες, αὐτοί τ' ἂν εἶεν ἔξω τῶν κινδύνων, καὶ παρὰ τοῖς ἄλλοις Ἕλλησιν εὐδοκιμοῖεν. ὧν ἀγαθὰ μείζω χαλεπὸν

* ὅμοιοι

* παρὰ

παράκλησις πρὸς εὐβουλίαν.

ἀντίθεσις τῆς τυραννικῆς ἀβουλίας.

ἐκ τοῦ δυνατοῦ.

ἐστὶν εὑρεῖν. ἐνεθυμήθην δὲ μεταξὺ γράφων, ὡς εὐτυχῶς ἅπαντά σοι συμβέβηκε. τὴν μὲν γὰρ εὐπορίαν, ἣν ἀναγκαίως κτήσασθαι τυραννικῶς, μετὰ βίας πολλῆς καὶ ἀπεχθείας ὁ πατήρ σοι καταλέλοιπε· τὸ

αἵρεσις τυραννίδος ἢ εὐνοίας.

δὲ χρῆσθαι τούτοις καλῶς τε καὶ φιλανθρώπως, ἐπὶ σοὶ γέγονεν· ὧν χρή σε πολλὴν ποιεῖσθαι τὴν ἐπιμέλειαν· ἃ δ' οὖν ἐγὼ γινώσκω, ταῦτ' ἐστίν. ἔχει δὲ οὕτως. εἰ μὲν ὁρᾷς χρημάτων, καὶ πολλῆς δυναστείας καὶ κινδύνων, δι' ὧν αἱ κτήσεις τούτων εἰσίν, ἑτέρους σοι συμβούλους παρακλητέον· εἰ δὲ ταῦτα μὲν ἱκανῶς ἔχεις, ἀρετῆς δὲ καὶ δόξης καλῆς, καὶ τῆς παρὰ τῶν πολλῶν εὐνοίας ἐπιθυμεῖς, τοῖς τε λόγοις τοῖς ἐμοῖς προσεκτέον τὸν νοῦν ἐστι, καὶ τοῖς καλῶς τὰς πόλεις τὰς αὐτῶν διοικοῦσιν, ἁμιλλητέον καὶ πειρατέον αὐτῶν διενεγκεῖν. ἀκούω δὲ καὶ

† κλεώνυμον ἐκ παραδείγματος.

† κλεόμμιν τὸν ἐν Μηθύμνῃ, ταύτην ἔχοντα τὴν δυναστείαν, περί τε τὰς ἄλλας πράξεις καλόν τε κἀγαθὸν εἶναι, καὶ φρόνιμον, καὶ τοσοῦτον ἀπέχειν τοῦ τινὰς ἀποκτείνειν, ἢ φυγαδεύειν, ἢ δημεύειν τὰς οὐσίας, ἢ ποιεῖν ἄλλο τι κακόν, ὥστε πολλὴν ἀσφάλειαν παρέχειν τοῖς συμπολιτευομένοις, κατάγειν δὲ τοὺς φυγόντας, ἀποδιδόναι δὲ τοῖς μὲν κα-

† τὰς τιμὰς τὰς

ποῦσι τὰς κτήσεις, ἐξ ὧν ἐξέπεσον, τοῖς δὲ πριαμένοις † τὰς ἑκάστοις γιγνομένας. πρὸς δὲ τούτοις καθοπλίζειν ἅπαντας τοὺς πολίτας, ὡς οὐδενὸς μὲν ἐπιχειρήσοντος περὶ αὐτὸν νεωτερίζειν. ἢν δ' ἄρα τινὲς τολμήσωσιν, ἡγούμενος λυσιτελεῖν αὐτῷ τεθνάναι μᾶλλον τοιαύτην ἀρετὴν ἐνδειξαμένῳ τοῖς πολίταις, ἢ ζῆν πλείω χρόνον τῶν ἄλλων,

μετάβασις ἐπὶ τὴν αὐτοκράτορος σύστασιν.

τῇ πόλει τῶν μεγίστων κακῶν αἰτίῳ γενομένῳ. ἔτι δ' ἂν πλείω σοι περὶ τούτων διελέχθην ἴσως ἄν, καὶ χαριέστερον, εἰ μὴ παντάπασιν ἐδέησέ με διὰ ταχέων γράψαι τὴν ἐπιστολήν. νῦν δὲ σοὶ μὲν αὖθις συμβουλεύσομεν, ἂν μὴ κωλύῃ με τὸ γῆρας· ἐν δὲ τῷ παρόντι περὶ τῶν ἰδίων

ἐκ τῆς οἰκειότητος.

† ἡμῖν

δηλώσομεν. αὐτοκράτωρ γὰρ ὁ τὰ γράμματα φέρων, οἰκείως † ὑμῖν ἔχει. περί τε γὰρ τὰς αὐτὰς διατριβὰς γέγονα, καὶ τέχνῃ τῇ αὐτοῦ κέχρημαι, καὶ τὸ τελευταῖον πολλάκις περὶ τῆς ἀποδημίας τῆς ὡς σὲ

ἀξίωσις.

σύμβουλος ἐγενόμην αὐτῷ. ἀλλὰ δὴ ταῦτα πάντα βουλοίμην ἂν σε

καλῶς

καλῶς αὐτῷ χρῆσθαι, καὶ συμφερόντως ἀμφοτέροις ἡμῖν. καὶ γενέσθαι † φανερὸς, ὅτι μέρος τι † γίνεται τῶν δεόντων αὐτῷ. († φανερὸν † καὶ δι' ἡμᾶς) καὶ μὴ θαυμάσῃς, εἰ σοὶ μὲν οὕτως ἐπιστέλλω προθύμως· Κλεάρχου δὲ μηδὲν πώποτε ἐδεήθην. σχεδὸν γὰρ ἅπαντες οἱ παρ' ὑμῶν καταπλέοντες, σὲ μὲν φασὶν ὅμοιον εἶναι τοῖς κρατίστοις τῶν ἐμοὶ πεπλησιακότων· Κλέαρχον δὲ κατὰ μὲν ἐκεῖνον τὸν χρόνον, ὅτ' ἦν παρ' ἡμῖν ὡμολόγουν ὅσοι ἐνέτυχον, ἐλευθεριώτατον εἶναι, καὶ πρᾳότατον, καὶ φιλανθρωπότατον τῶν μετεχόντων τῆς διατριβῆς. (ἀντιθεὶς τὸν Κλεάρχου ψόγον, τοῖς Τιμοθέου ἐπαίνοις αὔξει.) ἐπειδὴ δὲ † δύναμιν ἔλαβε, († τὴν) τοσοῦτον ἔδοξε μεταπεσεῖν, ὥστε πάντας θαυμάζειν τοὺς πρότερον αὐτὸν γινώσκοντας. πρὸς μὲν οὖν ἐκεῖνον διὰ τὰς αἰτίας ταύτας ἀπηλλοτριώθην· σὲ δ' ἀποδέχομαι, καὶ περὶ πολλοῦ ποιησαίμην γ' ἂν οἰκείως διατεθῆναι πρὸς ἡμᾶς. δηλώσεις δὲ καὶ σὺ διὰ ταχέων, εἰ τὴν αὐτὴν ἔχεις γνώμην ἡμῖν. (συμπέρασμα.) αὐτοκράτορός τε γὰρ ἐπιμελήσῃ, καὶ πέμψεις ἐπιστολὴν † εἰς ἡμᾶς, ἀνανεούμενος τὴν φιλίαν καὶ ξενίαν τὴν πρότερον ὑπάρχουσαν, ἔρρωσο. καὶ εἴ του ἄλλου δέῃ παρ' ἡμῶν, ἐπίστελλε. († ὡς)

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Η ΕΠΙΣΤΟΛΗΣ.

Ἀξιοῖ τοὺς Μιτυληναίους, Ἀγήνορα μουσικὸν, τῶν υἱωνῶν αὐτοῦ διδάσκαλον γενόμενον, κατάγειν.

## ΤΟΙΣ ΜΙΤΥΛΗΝΑΙΩΝ ΑΡΧΟΥΣΙ.

Οἱ παῖδες οἱ Ἀφαρέως, υἱιδεῖς δ' ἐμοὶ, παιδευθέντες ὑπὸ Ἀγήνορος τὰ περὶ τὴν μουσικὴν, ἐδεήθησάν μου γράμματα πέμψαι πρὸς ὑμᾶς, (αἰτιολογία τοῦ ἐπιστέλλειν κατ' ἔφοδον.) ὅπως ἂν ἐπειδὴ καὶ τῶν ἄλλων τινὰς κατηγάγετε φυγάδων, καὶ * τούτων καταδέξησθε καὶ τὸν πατέρα, καὶ τοὺς ἀδελφούς. († τοῦτον) λέγοντος δέ μου πρὸς αὐτοὺς, ὅτι δέδοικα, μὴ λίαν ἄτοπος δόξω, καὶ περίεργος, ζητῶν εὑρίσκεσθαι τηλικαῦτα τὸ μέγεθος παρ' ἀνδρῶν, οἷς οὐδὲ πώποτε πρότερον οὔτε διελέχθην, οὔτε συνήθης ἐγενόμην· ἀκούσαντες ταῦτα, πολὺ μᾶλλον ἐλιπάρουν. ὡς δὲ οὐδὲν αὐτοῖς ἀπέβαινον, ὧν ἤλπιζον, ἅπασιν ἦσαν καταφανεῖς ἀηδῶς διακείμενοι, καὶ

χαλεπῶς φέροντες. ὁρῶν δ' αὐτοὺς λυπουμένους μᾶλλον τοῦ προσήκοντος, πλὴν τῶν ὑπεσχόμην γράψειν τὴν ἐπιστολὴν, καὶ πέμψειν ὑμῖν. περὶ μὲν οὖν τοῦ μὴ δικαίως ἂν δοκεῖν μωρὸς εἶναι, καὶ ὀχληρὸς, ταῦτ' ἔχω λέγειν.

ἀξίωσις ἐπαίνου σχήματι.

ἡγοῦμαι δὲ καλῶς ἂν ὑμᾶς βεβουλεῦσθαι, καὶ διηλλαγμένους τοῖς πολίταις τοῖς ὑμετέροις, καὶ πειρωμένους τοὺς μὲν φεύγοντας ὀλίγους ποιεῖν, τοὺς δὲ συμπολιτευομένους πολλοὺς, καὶ μιμουμένους τὰ περὶ τὴν στάσιν τὴν πόλιν τὴν ἡμετέραν. μάλιστα δ' ἄν τις ὑμᾶς ἐπαινέσειεν, ὅτι τοῖς κατιοῦσιν ἀπεδίδοτε τὴν οὐσίαν. ἐπιδείκνυτε γὰρ, καὶ ποιεῖτε πᾶσι φανερὸν, ὡς οὐ τῶν χρημάτων ἐπιθυμήσαντες τῶν ἀλλοτρίων, ἀλλ' ὑπὲρ τῆς πόλεως δείσαντες, ἐποιήσασθε τὴν ἐκβολὴν αὐτῶν.

ἐκ τῆς ποιότητος τῶν φυγάδων.

οὐ μὴν ἀλλ' εἰ καὶ μηδὲν ὑμῖν ἔδοξε τούτων, μηδὲ προσεδέχεσθε μηδένα τῶν φυγάδων, τούτους γε νομίζω συμφέρειν ὑμῖν κατάγειν. αἰσχρὸν γὰρ τὴν μὲν πόλιν ὑμῶν ὑπὸ πάντων ὁμολογεῖσθαι μουσικωτάτην εἶναι, καὶ τοὺς ὀνομαστοτάτους ἐν ταύτῃ τυγχάνειν παρ' ὑμῖν γεγονότας· τὸν δὲ προέχοντα τῶν νῦν ὄντων περὶ τὴν ἱστορίαν τῆς παιδείας ταύτης, φεύγειν ἐκ τῆς τοιαύτης πόλεως.

ἐκ παραδειγμάτων ἐναντίων.
† ἐπί τω.
† εὐδαιμοῦντάς τε
* αὐτῆς
κατὰ σύγκρισιν.

Καὶ τοὺς ἄλλους Ἕλληνας, τοὺς διαφέροντας † περί γε τῶν καλῶν ἐπιτηδευμάτων, καὶ μηδὲν προσήκοντας, πειρᾶσθε πολίτας· ὑμᾶς δὲ τοὺς † εὐδαιμονοῦντάς τι πρὸ τοῖς ἄλλοις, καὶ μετασχόντας τῆς * φύσεως περιορᾶν παρ' ἑτέροις μετοικοῦντας. θαυμάζω δ', ὅσαι τῶν πόλεων μειζόνων δωρεῶν ἀξιοῦσι τοὺς ἐν τοῖς γυμνικοῖς ἀγῶσι κατορθοῦντας μᾶλλον, ἢ τοὺς τῇ φρονήσει καὶ τῇ φιλοπονίᾳ τῶν χρησίμων εὑρίσκοντάς τι, καὶ μὴ συνορῶσιν, ὅτι πεφύκασιν αἱ μὲν περὶ τὴν ῥώμην καὶ τὸ τάχος δυνάμεις, συναποθνήσκειν τοῖς σώμασιν· αἱ δ' ἐπιστῆμαι παραμένειν, ἅπαντα τὸν χρόνον ὠφελοῦσαι τοὺς χρωμένους αὐταῖς. ὧν ἐνθυμουμένους χρὴ τοὺς νοῦν ἔχοντας, περὶ πλείστου μὲν ποιεῖσθαι τοὺς καλῶς καὶ δικαίως τῆς αὐτῶν πόλεως ἐπιστατοῦντας, δευτέρους δὲ τοὺς τιμὴν καὶ δόξαν αὐταῖς καλὴν συμβάλλεσθαι δυναμένους.

προκατάληψις, ὅτι εὐεργέτηκε τοὺς μιτυληναίους.

ἅπαντες γὰρ ὥσπερ δείγμασι τοῖς τοιούτοις χρώμενοι, καὶ τοὺς ἄλλους τοὺς συμπολιτευομένους ὁμοίους εἶναι

τοῖς

τοῖς τοιούτοις νομίζομεν. ἴσως οὖν εἴποι τις ἂν * προσήκει τοὺς εὑρέσθαι * προσήκειν
τι βουλομένους, μὴ τὸ πρᾶγμα μόνον ἐπαινεῖν, ἀλλὰ καὶ σφᾶς αὐτοὺς
δικαίους * ἂν τυγχάνειν περὶ ὧν ποιῶνται τοὺς λόγους. ἔχει δ' οὕτως. * εἶναι, ἢ δεικνύειν δικαίως ἂν τυγχάνειν.
ἐγὼ τοῦ μὲν πολιτεύεσθαι καὶ ῥητορεύειν ἀπέστην. οὔτε γὰρ φωνὴν ἔσχον
ἱκανὴν, οὔτε τόλμαν. οὐ μὴν δέ γε παντάπασιν ἄχρηστος ἔφυν, οὐχ ἀ-
δόκιμος, ἀλλὰ τοῖς προαιρουμένοις λέγειν ἀγαθόν τι περὶ ὑμῶν, καὶ
τῶν ἄλλων συμμάχων, φανείην ἂν καὶ σύμβουλος, καὶ * ἀγωνιστὴς γε- * συναγωνιστὴς
γενημένος, αὐτός τε πλείους λόγους πεποιημένος ὑπὲρ τῆς ἐλευθε-
ρίας, καὶ τῆς αὐτονομίας τῶν Ἑλλήνων ἢ σύμπαντες οἱ τὰ βήματα κα-
τατετριφότες. ὑπὲρ ὧν ὑμεῖς ἄν μοι δικαίως πλείστην ἔχοιτε χάριν.
μάλιστα γὰρ ἐπιθυμοῦντες διετελεῖτε τῆς τοιαύτης καταστάσεως. οἶ-
μαι δ' εἰ Τιμόθεος καὶ Κόνων ἐτύγχανον ζῶντες, Διόφαντος δ' ἧκεν Τιμόθεος. Κόνων.
ἐκ τῆς Ἀσίας, πολλὴν ἂν αὐτοὺς ποιήσασθαι σπουδὴν, εὑρέσθαι με βου- Διόφαντος.
λομένους, ὧν * ἐτύγχανον χρείαν ἔχοντες, περὶ ὧν οὐκ οἶδ' ὅ, τι δεῖ * ἂν αὐτοὶ
πλείω λέγειν. οὐδεὶς γὰρ ὑμῶν οὕτως ἐστὶ νέος, οὐδ' ἐπιλήσμων, ὅστις οὐκ
οἶδε τὰς ἐκείνων εὐεργεσίας. οὕτω δ' ἄν μοι δοκοίητε * κάλλιστα βε- ἐπιμονὴ τῇ ἑαυτοῦ καὶ Ἀγήνορος ἀξίᾳ.
βουλεῦσθαι περὶ τούτων, εἰ * σκέψεσθε τίς ἐστιν ὁ δεόμενος, καὶ ὑπὲρ * κάλλιστ' ἂν
ποίων τινῶν ἀνθρώπων. εὑρήσετε γὰρ ἐμὲ μὲν οἰκειότατα κεχρημένον βουλεύεσθαι * σκέψαισθε
τοῖς μεγίστων ἀγαθῶν αἰτίοις γεγενημένοις ὑμῖν τε καὶ τοῖς ἄλλοις· ὑ-
πὲρ δὲ ὧν δέομαι τοιούτους ὄντας, οἵους τοὺς μὲν πρεσβυτέρους, καὶ τοὺς
περὶ τὴν πολιτείαν ὄντας μὴ λυπεῖν, τοῖς δὲ νεωτέροις διατριβὴν
παρέχειν ἡδεῖαν, καὶ χρησίμην, καὶ πρέπουσαν τοῖς τηλικούτοις. μὴ
θαυμάζητε δὲ, εἰ ῥᾳδίως οὕτω γράφω, καὶ περὶ τῶν ἄλλων ἁπάν- προκατάληψις αἰτιολογική.
των καὶ τῶν φιλτάτων τὴν ἐπιστολὴν πέπομφα. βούλομαι γὰρ ἀμ-
φότερα, τοῖς τε παισὶν * ὑμῶν χαρίσασθαι, καὶ ποιῆσαι φανερὸν, ὅτι * ἡμῶν
κἂν μὴ δημηγορῶσιν, ἀλλὰ μόνον μιμῶνται τὸν τρόπον τὸν ἐμὸν, οὐκ
ἠμελημένως ἕξουσιν ἐν τοῖς ἄλλοις. ἓν ἔτι λοιπόν· ἢν ἄρα δόξῃ τι τού-
των ὑμῖν πράττειν, δηλοῦν Ἀγήνορί τε καὶ τοῖς ἀδελφοῖς, ὅτι μόνοι
τι καὶ δι' ἐμὲ τυγχάνουσιν, ὧν αὐτοὶ λίαν ἐπιθυμοῦσι τυγχάνειν.

### ΥΠΟΘΕΣΙΣ ΤΗΣ Θ ΚΑΙ ΤΕΛΕΥΤΑΙΑΣ ἐπιστολῆς.

Διονύσιον τὸν τῆς Σικελίας τύραννον· οἶμαι δὲ τὸν νεώτερον· εἰς ὑπεροπτικὸν ὄγκον ἐξοκείλαντα, τήν τε κατὰ φιλοσοφίαν παραινέσεων καταφρονοῦντα, σωφρονίζειν πειρᾶται.

## ΙΣΟΚΡΑΤΗΣ ΔΙΟΝΥΣΙΩι.

αἰτιολογία τῆς ἱπποτυφίας.

Πρόπομποι, καὶ ῥαβδοῦχοι, καὶ κήρυκες, καὶ θρόνων ὑψηλοτάτων ἐπίτευξις, φιλοσοφίας εἰσὶν ὄχλος, καὶ διαιρετικώτατος πέφυκε τῶν ἀρετῶν χωρισμός. οὐκ ἤμειψας μετὰ τῆς τύχης * φύσιν. ἐπὶ τὸν θύλακον ἔχεις δερμάτινον. θνητὴν γὰρ ἔχεις ἐκ προοιμίου τὴν σύστασιν. τί δῆτα τὸ καινὸν τοῦτο δοξάριον ἐπὶ τοσοῦτον τὸν πήλινον ἀσκὸν διεφύσησας. μεγάλης ἀνοίας ἐνεφορήθης ὦ δύστηνε, καὶ τῆς φύσεως τὴν γνῶσιν ἀφῄρησαι. οὕτω τὰ μετέωρα τῆς τύχης κινήματα ἐκστῆναί σε τῆς πάλαι θεωρίας ἠνάγκασαν, καὶ τοῦ σώφρονος ἐκείνης μανίας ἀπαναχωρεῖν παρεσκεύασαν; ἣν σοι πάλαι μετάρσιον τὸ χαμαίζηλον· νῦν δὲ καὶ χθαμαλὸν καὶ περίγειον. ὁ τῆς τύχης ὅρος ἀκρότατος. οὐκοῦν τῆς ψευδοῦς εὐδαιμονίας ἀφίστασο. καὶ τὴν στρατιῶτιν τύχην στρατεῦε. προφθάνων γὰρ τὴν ἀγνώμονα, ἄφνω τὴν μεταβολὴν οὐ δυσφορήσεις προσπίπτουσαν.

* τὴν κατηγορία τῆς ὑπερηφανίας.

παραίνεσις.

ΤΕΛΟΣ ΤΩΝ ἸΣΟΚΡΆΤΟΥΣ ἐπιστολῶν.